Γεωργίου Παχυμέρη Ιστορία

Γεωργίου του Παχυμέρη Συγγραφικαί Ιστορίαι,
Georges Pachymérès Relations Historiques, έκδ. A. Failler (-V. Laurent),
I-IV, [CFHB XXIV/1-4] Paris 1984-1999.



α'. Προοίμιον τοῦ συγγραφέως καὶ περὶ τῆς ἀληθείας τῶν λεγομένων.

Γεώργιος Κωνσταντινουπολίτης μὲν τὸ ἀνέκαθεν, ἐν Νικαίᾳ δὲ καὶ γεννηθεὶς καὶ τραφείς, ἐν Κωνσταντίνου δὲ καταστὰς αὖθις, ὅτε Θεοῦ νεύματι ὑπὸ Ῥωμαίους αὕτη ἐγένετο, ἔτη γεγονὼς εἴκοσιν ἑνὸς δέοντος τηνικάδε, καὶ κλήρῳ δοθεὶς θείῳ καὶ ἀξιώμασιν ἐκκλησιαστικοῖς διαπρέψας καὶ ἕως καὶ ἐς πρωτεκδίκου φθάσας τιμήν, ἔτι δὲ καὶ ἐν ἀνακτόρων εἰς δικαιοφύλακα τιμηθείς, τάδε ξυνέγραψεν, οὐ λόγους λαβὼν ἄνωθεν ἀμαρτύρους, οὐδ' ἀκοῇ πιστεύων μόνον, | ἥν τις λέγοι ἑωρακὼς ἢ καὶ ἀκούσας αὐτός, Β 12
πιστοὺς δ' ἀξιοίη τοὺς λόγους, εἰ μόνον λέγοι, λογίζεσθαι, ἀλλ' αὐτόπτης τὰ πλεῖστα, οὕτω ξυμβάν, γεγονὼς ἢ καὶ μαθὼν ἀκριβῶς παρ' ὧν τὸ πρῶτον ὡράθη πραχθέντα, πλὴν δ' οὐκ ἀμάρτυρα, ἀλλὰ καὶ πολλοῖς ἄλλοις συνηγορούμενα,

ἱστορίας γάρ, ὡς ἂν τις εἴποι, ψυχὴ ἡ ἀλήθεια, καὶ τὸ τῆς ἀληθείας χρῆμα ἐπάναγκες ἱερόν, ὁ δὲ πρὸ ταύτης τὸ ψεῦδος ἄγων ἄντικρυς ἱερόσυλος.

δ'. Ὅπως τῶν ἐν ταῖς ἄκραις ἐπεμελοῦντο ἀνδρῶν καὶ πραγμάτων.

Οὐ μὴν δὲ καὶ ἀτημελήτους τοὺς πρὸς τοῖς ὄρεσιν οἰκοῦντας εἴων, ὡς ἑτοίμους μεταναστεύσοντας, εἴ που ἀμηγέπη οἱ ἐναντίοι προσβάλοιεν, μηδὲν ἔχοντας τὸ πεῖθον μένειν καὶ παρὰ δύναμιν, εἴ ποι παρείκοι, πρὸς ἐκείνους ἀνδρίζεσθαι· ἀλλ' ἀτελείαις μὲν τοὺς πάντας, προνοίαις δ' ἐκ τούτων τοὺς ἐπιδοξοτέρους καὶ οἷς τολμῆεν τὸ φρόνημα γράμμασιν ἐδωροῦντο βασιλικοῖς. Καὶ δή, τοῦ χρόνου προϊόντος, ηὔξανον ταῖς περιουσίαις, καὶ πλοῦτος

ἐπέρρει σφίσι συχνός. Παρ' ὅσον δ' ἐκείνοις ἐνευθηνεῖσθαι ξυνέβαινε τοῖς κατὰ τὸν βίον, παρὰ τοσοῦτον καὶ πρὸς τοὺς ἐναντίους ἐθάρρουν, καὶ πολλοῖς

Καὶ τὰ μὲν πρότερα τοιαῦτα καὶ οὕτως ἔχοντα, μὴ μόνον αἷς ἐρρέθη ἀτελείαις τε καὶ προνοίαις, ἀλλά γε καὶ καθημεριναῖς φιλοτησίαις βασιλικαῖς τῶν τὰς ἄκρας οἰκούντων βρενθυομένων καὶ οὐδὲν ὅ τι μὴ πλούτου σημεῖον ἐχόντων, κἀντεῦθεν καὶ ἀρραθυμότερον μὲν φυλασσόντων, θαρραλεώτερον δ' εἰσβαλλόντων καὶ ἀντισχόντων τοῖς, εἴ πῃ ἰσχύσαιεν, κακοποιοῦσι τὰ ἡμέτερα.